κύριος, ἐὰν υἱοὶ ἢ θυγατέρες ὑπολειφθῶσιν, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ
αὐτῶν ῥύσονται τὰς ψυχὰς αὐτῶν. [21]τάδε λέγει κύριος Ἐὰν δὲ 21
καὶ τὰς τέσσαρας ἐκδικήσεις μου τὰς πονηράς, ῥομφαίαν καὶ λιμὸν
καὶ θηρία πονηρὰ καὶ θάνατον, ἐξαποστείλω ἐπὶ Ιερουσαλημ τοῦ
ἐξολεθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος [22]καὶ ἰδοὺ ὑπολελειμ- 22
μένοι ἐν αὐτῇ οἱ ἀνασεσῳσμένοι αὐτῆς, οἳ ἐξάγουσιν ἐξ αὐτῆς υἱοὺς
καὶ θυγατέρας, ἰδοὺ αὐτοὶ ἐκπορεύονται πρὸς ὑμᾶς, καὶ ὄψεσθε
τὰς ὁδοὺς αὐτῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν καὶ μεταμεληθήσεσθε
ἐπὶ τὰ κακά, ἃ ἐπήγαγον ἐπὶ Ιερουσαλημ, πάντα τὰ κακὰ ἃ ἐπήγαγον
ἐπ᾽ αὐτήν, [23]καὶ παρακαλέσουσιν ὑμᾶς, διότι ὄψεσθε τὰς ὁδοὺς αὐ- 23
τῶν καὶ τὰ ἐνθυμήματα αὐτῶν, καὶ ἐπιγνώσεσθε διότι οὐ μάτην
πεποίηκα πάντα, ὅσα ἐποίησα ἐν αὐτῇ, λέγει κύριος.

[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώπου, τί 15
ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου ἐκ πάντων τῶν ξύλων τῶν κλημά-
των τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ; [3]εἰ λήμψονται ἐξ αὐτῆς 3
ξύλον τοῦ ποιῆσαι εἰς ἐργασίαν; εἰ λήμψονται ἐξ αὐτῆς πάσσαλον
τοῦ κρεμάσαι ἐπ᾽ αὐτὸν πᾶν σκεῦος; [4]πάρεξ πυρὶ δέδοται εἰς ἀν- 4
άλωσιν, τὴν κατ᾽ ἐνιαυτὸν κάθαρσιν ἀπ᾽ αὐτῆς ἀναλίσκει τὸ πῦρ,
καὶ ἐκλείπει εἰς τέλος· μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν; [5]οὐδὲ 5
ἔτι αὐτοῦ ὄντος ὁλοκλήρου οὐκ ἔσται εἰς ἐργασίαν. μὴ ὅτι ἐὰν καὶ
πῦρ αὐτὸ ἀναλώσῃ εἰς τέλος, εἰ ἔσται ἔτι εἰς ἐργασίαν; [6]διὰ τοῦτο 6
εἰπόν Τάδε λέγει κύριος Ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν
τοῖς ξύλοις τοῦ δρυμοῦ, ὃ δέδωκα αὐτὸ τῷ πυρὶ εἰς ἀνάλωσιν,
οὕτως δέδωκα τοὺς κατοικοῦντας Ιερουσαλημ. [7]καὶ δώσω τὸ πρόσ- 7
ωπόν μου ἐπ᾽ αὐτούς· ἐκ τοῦ πυρὸς ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς
καταφάγεται, καὶ ἐπιγνώσονται ὅτι ἐγὼ κύριος ἐν τῷ στηρίσαι με
τὸ πρόσωπόν μου ἐπ᾽ αὐτούς. [8]καὶ δώσω τὴν γῆν εἰς ἀφανισμὸν 8
ἀνθ᾽ ὧν παρέπεσον παραπτώματι, λέγει κύριος.

[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, δια- 16
μάρτυραι τῇ Ιερουσαλημ τὰς ἀνομίας αὐτῆς [3]καὶ ἐρεῖς Τάδε λέγει 3
κύριος τῇ Ιερουσαλημ Ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς
Χανααν, ὁ πατήρ σου Αμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. [4]καὶ 4

20 κυριος: cf. 16 | υπολειφθ.] + αυτοις A pau. || 21 κυριος: cf. 14 | επαποστελω A || 22 αυτης οι εξαγουσιν εξ αυτης B(†)] εξ αυτης ουτοι εξαξουσιν AQ | αυτοι > B† | ab οψεσθε τας οδους αυτων και τα ενθυμ. αυτων in eadem uerba uersus 23 tr. B*pau. || 23 fin. κυριος: cf. 16

15 2 και συ] > A†, in *O* sub ÷ | των κλημ. > B*† || 3 αυτον] -του A || 4 παρεξ] + ο A^c | απ B†] επ Q†, > rel. || 5 μη οτι εαν και] διοτι εαν και μη A† | ει] μη A† || 6 κυριος B pau.] pr. αδωναι rel.: cf. 8 5 5 | αυτο τω] αυτο B†, αυτω V*† | ιερουσ.] pr. εν A || 7 δωσω] στηριω A || 8 κυριος BA pau.] pr. αδωναι: cf. 6

16 3 κυριος BA pau.] pr. αδωναι rel.: item in 19. 23. 30. 43. 48. 63, cf. 8. 36 5 5

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/795 UNIVERSITÄT LEIPZIG